Il.24.719 οἳ δ᾽ ἐπεὶ εἰσάγαγον κλυτὰ δώματα, τὸν μὲν ἔπειτα
Il.24.720 τρητοῖς ἐν λεχέεσσι θέσαν, παρὰ δ᾽ εἷσαν ἀοιδοὺς
Il.24.721 θρήνων ἐξάρχους, οἵ τε στονόεσσαν ἀοιδὴν
Il.24.722 οἳ μὲν ἄρ᾽ ἐθρήνε̲ο̲ν, ἐπὶ δὲ στενάχοντο γυναῖκες.
Il.24.723 τῇσιν δ᾽ Ἀνδρομάχη λευκώλενος ἦρχε γόοιο
Il.24.724 Ἕκτορος ἀνδροφόνοιο κάρη μετὰ χερσὶν ἔχουσα·
Il.24.725 ἆνερ ἀπ᾽ αἰῶνος νέος ὤλεο, κὰδ δέ με χήρην
Il.24.726 λείπεις ἐν μεγάροισι· πάϊς δ᾽ ἔτι νήπιος αὔτως
Il.24.727 ὃν τέκομεν σύ τ᾽ ἐγώ τε δυσάμμοροι, οὐδέ μιν οἴω
Il.24.728 ἥβην ἵξεσθαι· πρὶν γὰρ πόλις ἥδε κατ᾽ ἄκρης
Il.24.729 πέρσεται· ἦ γὰρ ὄλωλας ἐπίσκοπος, ὅς τέ μιν αὐτὴν
Il.24.730 ῥύσκευ, ἔχες δ᾽ ἀλόχους κεδνὰ̲ς καὶ νήπια τέκνα,
Il.24.731 αἳ δή τοι τάχα νηυσὶν ὀχήσονται γλαφυρῇσι,
Il.24.732 καὶ μὲν ἐγὼ μετὰ τῇσι· σὺ δ᾽ αὖ τέκος ἢ ἐμοὶ αὐτῇ
Il.24.733 ἕψεαι, ἔνθά κεν ἔργα ἀεικέα ἐργάζοιο
Il.24.734 ἀθλεύων πρὸ ἄνακτος ἀμειλίχου, ἤ τις Ἀχαιῶν
Il.24.735 ῥίψει χειρὸς ἑλὼν ἀπὸ πύργου λυγρὸν ὄλεθρον
Il.24.736 χωόμενος, ᾧ δή που ἀδελφεὸν ἔκτανεν Ἕκτωρ
Il.24.737 ἢ πατέρ᾽ ἠὲ καὶ υἱόν, ἐπεὶ μάλα πολλοὶ Ἀχαιῶν
Il.24.738 Ἕκτορος ἐν παλάμῃσιν ὀδὰξ ἕλον ἄσπετον οὖδας.
Il.24.739 οὐ γὰρ μείλιχος ἔσκε πατὴρ τεὸς ἐν δαῒ λυγρῇ·
Il.24.740 τὼ καί μιν λα̲οὶ μὲν ὀδύ̲ρονται κατὰ ἄστυ,
Il.24.741 ἀ̲ρητὸν δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκας
Il.24.742 Ἕκτορ· ἐμοὶ δὲ μάλιστα λελείψεται ἄλγεα λυγρά.

Il.24.743 οὐ γάρ μοι θνῄσκων λεχέων ἐκ χεῖρας ὄρεξας,
Il.24.744 οὐδέ τί μοι εἶπες πυκινὸν ἔπος, οὗ τέ κεν αἰεὶ
Il.24.745 μεμνῄμην νύκτάς τε καὶ ἤματα δάκρυ χέουσα.
Il.24.746 Ὣς ἔφατο κλαίουσ᾽, ἐπὶ δὲ στενάχοντο γυναῖκες.
Il.24.747 τῇσιν δ᾽ αὖθ᾽ Ἑκάβη ἁδινοῦ ἐξῆρχε γόοιο·
Il.24.748 Ἕκτορ ἐμῷ θυ̱μῷ πάντων πολὺ φίλτατε παίδων,
Il.24.749 ἦ μέν μοι ζωός περ ἐὼν φίλος ἦσθα θεοῖσιν·
Il.24.750 οἳ δ᾽ ἄρα σεῦ κήδοντο καὶ ἐν θανάτοιό περ αἴσῃ.
Il.24.751 ἄλλους μὲν γὰρ παῖδας ἐμοὺς πόδας ὠκὺς Ἀχιλλεὺς
Il.24.752 πέρνασχ᾽ ὅν τιν᾽ ἕλεσκε πέρην ἁλὸς ἀτρυγέτοιο,
Il.24.753 ἐς Σάμον ἔς τ᾽ Ἴμβρον καὶ Λῆμνον ἀμιχθαλόεσσαν·
Il.24.754 σεῦ δ᾽ ἐπεὶ ἐξέλετο ψυ̱χὴν ταναήκεϊ χαλκῷ,
Il.24.755 πολλὰ ῥυστάζεσκεν ἑοῦ περὶ σῆμ᾽ ἑτάροιο
Il.24.756 Πατρόκλου, τὸν ἔπεφνες· ἀνέστησεν δέ μιν οὐδ᾽ ὧς.
Il.24.757 νῦν δέ μοι ἑρσήεις καὶ πρόσφατος ἐν μεγάροισι
Il.24.758 κεῖσαι, τῷ ἴκελος ὅν τ᾽ ἀργυρότοξος Ἀπόλλων
Il.24.759 οἷς ἀγανοῖσι βέλεσσιν ἐποιχόμενος κατέπεφνεν.
Il.24.760 Ὣς ἔφατο κλαίουσα, γόον δ᾽ ἀλίαστον ὄρι̱νε.
Il.24.761 τῇσι δ᾽ ἔπειθ᾽ Ἑλένη τριτάτη ἐξῆρχε γόοιο·
Il.24.762 Ἕκτορ ἐμῷ θυ̱μῷ δαέρων πολὺ φίλτατε πάντων,
Il.24.763 ἦ μέν μοι πόσις ἐστὶν Ἀλέξανδρος θεοειδής,
Il.24.764 ὅς μ᾽ ἄγαγε Τροίηνδ᾽· ὡς πρὶν ὤφελλον ὀλέσθαι.
Il.24.765 ἤδη γὰρ νῦν μοι τόδε εἰκοστὸν ἔτος ἐστὶν
Il.24.766 ἐξ οὗ κεῖθεν ἔβην καὶ ἐμῆς ἀπελήλυθα πάτρης·

Il.24.767 ἀλλ´ οὔ πω σεῦ ἄκουσα κακὸν ἔπος οὐδ´ ἀσύφηλον·
Il.24.768 ἀλλ´ εἴ τίς με καὶ ἄλλος ἐνὶ μεγάροισιν ἐνίπτοι
Il.24.769 δα̱έ̱ρων ἢ γαλόων ἢ εἰνατέρων εὐπέπλων,
Il.24.770 ἢ ἑκυρή, ἑκυρὸς δὲ πατὴρ ὣς ἤπιος αἰεί,
Il.24.771 ἀλλὰ σὺ τὸν ἐπέεσσι παραιφάμενος κατέρυ̱κες
Il.24.772 σῇ τ´ ἀγανοφροσύνῃ καὶ σοῖς ἀγανοῖς ἐπέεσσι.
Il.24.773 τὼ σέ θ´ ἅμα κλαίω καὶ ἔμ´ ἄμμορον ἀχνυμένη κῆρ·
Il.24.774 οὐ γάρ τίς μοι ἔτ´ ἄλλος ἐνὶ Τροίῃ εὐρείῃ
Il.24.775 ἤπιος οὐδὲ φίλος, πάντες δέ με πεφρί̱κα̱σιν.
Il.24.776 Ὣς ἔφατο κλαίουσ´, ἐπὶ δ´ ἔστενε δῆμος ἀπείρων.
Il.24.777 λα̱οῖσιν δ´ ὃ γέρων Πρίαμος μετὰ μῦθον ἔειπεν·
Il.24.778 ἄξετε νῦν Τρῶες ξύλα ἄστυ δέ, μὴ δέ τι θυ̱μῷ
Il.24.779 δείσητ´ Ἀργείων πυκινὸν λόχον· ἦ γὰρ Ἀχιλλεὺς
Il.24.780 πέμπων μ´ ὧδ´ ἐπέτελλε μελαινά̱ων ἀπὸ νηῶν
Il.24.781 μὴ πρὶν πημανέειν πρὶν δωδεκάτη μόλῃ ἠώς.
Il.24.782 Ὣς ἔφαθ´, οἳ δ´ ὑπ´ ἁμάξῃσιν βόας ἡμιόνους τε
Il.24.783 ζεύγνυσαν, αἶψα δ´ ἔπειτα πρὸ ἄστεος ἠγερέθοντο.
Il.24.784 ἐννῆμαρ μὲν τοί γε ἀγί̱νεον ἄσπετον ὕ̱λην·
Il.24.785 ἀλλ´ ὅτε δὴ δεκάτη ἐφάνη φαεσίμβροτος ἠώς,
Il.24.786 καὶ τότ´ ἄρ´ ἐξέφερον θρασὺν Ἕκτορα δάκρυ χέοντες,
Il.24.787 ἐν δὲ πυρῇ ὑπάτῃ νεκρὸν θέσαν, ἐν δ´ ἔβαλον πῦρ.
Il.24.788 Ἦμος δ´ ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
Il.24.789 τῆμος ἄρ´ ἀμφὶ πυρὴν κλυτοῦ Ἕκτορος ἔγρετο λα̱ός.
Il.24.790 αὐτὰρ ἐπεί ῥ´ ἤγερθεν ὁμηγερέες τ´ ἐγένοντο

Il.24.791 πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσαν αἴθοπι οἴνῳ

Il.24.792 πᾶσαν, ὁπόσσον ἐπέσχε πυρὸς μένος· αὐτὰρ ἔπειτα

Il.24.793 ὀστέα λευκὰ λέγοντο κασίγνητοί θ´ ἕταροί τε

Il.24.794 μυ̱ρόμενοι, θαλερὸν δὲ κατείβετο δάκρυ παρειῶν.

Il.24.795 καὶ τά γε χρυ̱σείην ἐς λάρνακα θῆκαν ἑλόντες

Il.24.796 πορφυρέοις πέπλοισι καλύψαντες μαλακοῖσιν.

Il.24.797 αἶψα δ´ ἄρ´ ἐς κοίλην κάπετον θέσαν, αὐτὰρ ὕπερθε

Il.24.798 πυκνοῖσιν λά̱εσσι κατεστόρεσαν μεγάλοισι·

Il.24.799 ῥίμφα δὲ σῆμ´ ἔχεαν, περὶ δὲ σκοποὶ ἥατο πάντῃ,

Il.24.800 μὴ πρὶν ἐφορμηθεῖεν ἐϋκνήμι̱δες Ἀχαιοί.

Il.24.801 χεύαντες δὲ τὸ σῆμα πάλιν κίον· αὐτὰρ ἔπειτα

Il.24.802 εὖ συναγειρόμενοι δαίνυντ´ ἐρικυ̱δέα δαῖτα

Il.24.803 δώμασιν ἐν Πριάμοιο διοτρεφέος βασιλῆος.

Il.24.804 Ὣς οἵ γ´ ἀμφίεπον τάφον Ἕκτορος ἱπποδάμοιο.